

600087980

HYPERIDIS

ORATIO PRO EUXENIPPO

ET

ORATIONIS PRO LYCOPHRONE

FRAGMENTA.

CUM ADNOTATIONE CRITICA

IN USUM SCHOLARUM ACADEMICARUM

EDIDIT

JULIUS CAESAR

PROFESSOR MARBURGENSIS.

MARBURGI.

SUMPTIBUS N. G. ELWERTI BIBLIOPOLAE ACADEMICI.

MDCCCLVII.

BODLEIANA · BIBLIOTHECA ·

Praefatio.

Hyperideae artis monumenta nuperrime ab Josepho Ardenio ex Aegypto in Britanniam patriam reportata 'quum satis idonea visa essent, quae juvenum philologiae studiosorum exercitationibus criticis et exegeticis subjicerentur, necessitate quadam coactus sum, ut ipse editionem ei maxime quod mihi proposueram accommodatam pararem. Nam quae a Schneidewino in lucem emissa est, principis in Germania editionis speciem prae se ferens, cum meo consilio minus convenire videbatur, quum iis carere nollem seminarii philologici sodales, quae postea vel ab ipso editore correcta vel ab aliis viris doctis ad emendandas orationes collata essent. Post Linderi autem Upsaliensis editionem orationis pro Euxenippo, quam sero in Germania parabilem esse cognovi, ne haec mea opera supervacanea esse videri possit, vel eam ob causam vix vereor, quod plura etiam quam quae ille voluit complexus sum. Neque enim in edenda integra illa oratione Euxenippea acquievi, sed addidi etiam fragmenta quotquot exstant orationis pro Lycophrone habitae, quorum maxima pars in eodem papyro Ardeniano reperta est, alia exstare in Harrisianis laciniis papyraceis, editis cum reliquiis orationis in Demosthenem habitae, jam omnes fere consentiunt (nam haec omnia ex uno Hyperidearum orationum volumine originem habere videntur), alia apud lexicographos Graecos leguntur. Ita non solum eorum, qui in scholis academicis

Hyperidi locum dare velint, commodis consuluisse mihi videor, id quod maxime spectavi, sed eorum etiam usui prospexisse, qui corpori oratorum Atticorum has etiam reliquias apparatu critico quam locupletissimo instructas addere velint. Nam hac maxime in re ut nihil desiderari possit, summam operam et curam impendi, in adornanda editione eam rationem secutus, ut textum constituerem qui commode legeretur, locis mutilis instauratis, si quidem cum probabilitatis specie vel ab aliis id factum esse vel fieri posse videretur; ut ne in minimis quidem a codicis lectione recederem nisi admonito lectore in adnotatione; denique ut omnia in unum locum congererem, quae ab aliis ad haec orationum Hyperidearum fragmenta emendanda in medium prolata esse comperissem. Interpretationem addere non minus a consilio meo aberat, quam examinandis lectionibus adolescentium, quibus haec prae ceteris destinata sunt, judicia praeire, nisi ubi ad ipsam adnotationem criticam recte intelligendam necessarium videretur. In textu constituendo codicis lectionem, raro erroribus deformatam, quantum fieri potuit sequi malui, quam Atticismum Cobetianum, de Graecitate non Homero et Luciano solum sed ipsis oratoribus Atticis nonnunquam sollicitiorem, in hoc maxime scriptore, quem saepius grammaticorum aures offendisse usu vocabulorum formarumque rariorum satis constat — *ἴδιον Ὑπερείδου τὸ καὶ ταῖς λέξεσιν ἀφειδέστερόν πως καὶ ἀμελέστερον χρῆσθαι*, Hermogenis sunt verba —, et de cujus proprietate ampliora certe testimonia exspectanda erunt, antequam paucis quae exstant fidem praefracte denegemus. Quam exspectationem fundamento non esse prorsus destitutam, et ea ipsa quae paucis his annis vidimus docent et nuntius, quem de fragmentis Hyperideis ab Harrisio denuo inventis a Babingtone in diario philol. Cantabrig. nuper accepimus (1855. N. V. p. 236 sq.).

De Hyperidis arte non est quod post Scheidewinum ceterosque qui recentissimis temporibus in hanc rem inquisiverunt (cf. A. Schaeferi liber elegantissimus et utilissimus de Demosthene ejusque aetate II, p. 304 sqq.) moneam. Neque opus esse videtur, ut codicis, quem ex altero fere ante Chr. n. saeculo originem habere viri docti conjecerunt, ratio accuratius explicetur, quum praeter editorum descriptiones in hunc papyrum ea omnia cadant, quae de fragmentorum orationis Harpalicae scriptura Sauppius in Philol. III, p. 656 sqq. diligentissime exposuit. Tironum causa monuisse sufficiat, codicem optime esse scriptum, ita ut pauca restent menda non correcta in ipso libro ab altera manu, relicta tamen esse nonnulla, iis etiam exceptis quae propter papyrum laesum criticorum artem efflagitent, orthographica pleraque et orta ex syllaba prave vel iterata vel ob eandem formam omissa; accentus et spiritus notas non poni, interpunctionis vestigia quaedam non satis accurata comparere.

Reliquum est ut eorum nomina proferam, quorum studiis in has orationes collatis in adornanda editione mea usus sum. Primi igitur duumviri Britanni curaverunt, ut ipsum papyrum quantum fieri posset fidelissime oculis nostris proponerent in libro splendidissimo Cantabrigiae a. 1853. forma maxima edito, qui inscriptus est: ΥΠΕΡΙΔΟΥ ΛΟΓΟΙ Β. The orations of Hyperides for Lycophron and for Euxenippus; now first printed in facsimile with a short account of the discovery of the original manuscript at western Thebes in upper Egypt in 1847, by *Joseph Arden*, the text edited with notes and illustrations by *Churchill Babington*. Secuta est in Germania haec editio: Hyperidis orationes duae ex papyro Ardeniano editae. Post Ch. Babingtonem emendavit et scholia adjecit *F. G. Schneidewin*. Gottingae. 1853. 8. Quarum editionum censores exstiterunt de orationum forma atque explicatione et ipsi bene meriti *Spengelius* in Münch. Gel.

Anz. a. 1853. vol. 37. N. 4 sq., *Kayserus* in Heidelb. Jahrb. 1853. p. 641 sqq., *Schaeferus* in Jahrb. f. Philol. vol. LXVIII. p. 27 sqq. Tum inter Batavos orationem pro Euxenippo solam recensuit brevi adnotatione addita *Cobetus* in Mnemosyne II, p. 310 sqq. His omnibus usus est *Schneidewinus* in epicrisi Philol. vol. VIII. p. 341 sqq. inserta. Deinde *Lightfoot* Anglus, cujus nomen sub literis *J.B.L.* latere suspicor, in Journal of Philol. 1854. N. 1. diligenter de Hyperideis egit, eorum quos dixi ratione habita. Denique eandem laudem meruit apud Suecos *Linderus* una certe oratione edita in libello quem inscripsit: Hyperidis oratoris Attici pro Euxenippo in Polyeuctum oratio. Recogn. appar. crit. add. Car. Guil. Linder. Upsal. 1856. 8. Accedunt *Bakius* apud Cobetum, *Patakis* apud Scheidewinum Philol., *Shilleto* apud J.B.L. In adnotatione quibus compendiis editorum nomina significaverim, ex tabula huic libello subjecta elucebit. — In fragmentis ex papyro Harrisiano sumtis praeter Schneidewinum usus sum *Babingtonis* editione, quae prodiit Londini 1850. 4., *Boeckhii* censura editionis Harrisianae, quae exstat in Hall. Lit. Ztg. a. 1848. vol. II, N. 223 sqq. et separatim edita est ita inscripta: Neu aufgefundene Bruchstücke aus Reden des Hyp. Halle 1848. 8., *Sauppii* dissertatione Philol. vol. III inserta et Oratorum Atticorum epilogo.

Marginibus inscripsi numeros columnas papyri et editionis Schneidewinianae paginas indicantes. Denique ut iis quae de codicis scriptura doctorumque virorum conjecturis retuli, fides haberi possit maxima, sedulo curavi. Restant quidem nonnulla, in quibus operae non paruerunt; quae infra correcta sunt, nisi vitii remedium est apertum.

Scrib. Marburgi ipsis Idibus Juniis a MDCCCLVII.

p. 3 Schn. Ὑπὲρ Εὐξενίππου εἰσαγγελίας ἀπολογία πρὸς Πολύευκτον. Col. 17

Ἀλλ' ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅπερ καὶ πρὸς 18
τοὺς παρακαθημένους ἀρτίως ἔλεγον, θαυμάζω, εἰ μὴ
προσίστανται ἤδη ὑμῖν αἱ τοιαῦται εἰσαγγελίαι. τὸ μὲν
γὰρ πρότερον εἰσηγγέλλοντο παρ' ὑμῖν Τιμόμαχος καὶ
Λεωσθένης καὶ Καλλίστρατος καὶ Φίλων ὁ ἐξ Ἀναίων
καὶ Θεότιμος ὁ Σηστὸν ἀπολέσας καὶ ἕτεροι τοιοῦτοι·
καὶ οἱ μὲν αὐτῶν ναῦς αἰτίαν ἔχοντες προδοῦναι, οἱ
δὲ πόλεις Ἀθηναίων, ὁ δὲ ῥήτωρ ὢν λέγειν μὴ τὰ
ἄριστα τῷ δήμῳ· καὶ οὔτε τούτων πέντε ὄντων οὐδεὶς
ὑπέμεινε τὸν ἀγῶνα, ἀλλ' αὐτοὶ ᾤχοντο φεύγοντες
ἐκ τῆς πόλεως, οὔτ' ἄλ|λοι πολλοὶ τῶν εἰσαγγελλο- 19
μένων, ἀλλ' ἦν σπάνιον ἰδεῖν ἀπ' εἰσαγγελίας τινὰ
κρινόμενον ὑπακούσαντα εἰς τὸ δικαστήριον· οὕτως
ὑπὲρ μεγάλων ἀδικημάτων καὶ περιφανῶν αἱ εἰσαγγε-
p. 4 λίαι τότε ἦσαν. νυνὶ δὲ τὸ γινόμενον ἐν τῇ πόλει πάνυ
καταγέλαστόν ἐστιν. Διογνίδης μὲν καὶ Ἀντίδωρος ὁ

Col. 17. Titulus in cod. diversam ab ipsa oratione manum prodit. „προς is expressed in the MS. by a single cursive character". B.

Col. 18. *ἤδη*: ηδηι A. — *οἱ δὲ*: οιδς A. — *τούτων*: τουτῶ A in fine versus. — *οὐδεὶς*: οὐδ' εἷς S. Kayser. — *ᾤχοντο*: ωχοντο A.

Col. 19. *ἀλλ' ἦν σπάνιον ἰδεῖν*: haec verba suo loco omissa supra columnam addita sunt in cod. — *δικαστήριον*: δικαστηε̄ριον A. — *τότε* S. C. L. τοτε A corr. τουτο A pr. τούτων B. — *γινόμενον*: γιγνόμενον C. L. — *ἐστιν*: ειναι A pr. — *Διογνίδης*:

μέτοικος εἰσαγγέλλονται ὡς πλέονος μισθοῦντες τὰς αὐλητρίδας ἢ ὁ νόμος κελεύει, Ἀγασικλῆς δ' ὁ ἐκ Πειραιέως ὅτι εἰς Ἁλιμουσίους ἐνεγράφη, Εὐξένιππος δ' ὑπὲρ τῶν ἐνυπνίων ὧν φησιν ἑωρακέναι· ὧν οὐδεμία δήπου τῶν αἰτιῶν τούτων οὐδὲ|ν κοινωνεῖ τῷ εἰσαγγελτικῷ νόμῳ.

Καίτοι, ὦ ἄνδρες δικασταὶ, ἐπὶ τῶν δημοσίων ἀγώνων οὐ χρὴ τοὺς δικαστὰς πρότερον τὰ καθ' ἕκαστα τῆς κατηγορίας ὑπομένειν ἀκούειν, πρὶν αὐτὸ τὸ κεφάλαιον τοῦ ἀγῶνος καὶ τὴν ἀντιγραφὴν ἐξετάσωσιν εἰ ἔστιν ἐκ τῶν νόμων ἢ μή· οὐ μὰ Δία, οὐχ ὥσπερ ἐν τῇ κατηγορίᾳ Πολύευκτος ἔλεγεν, οὐ φάσκων δεῖν τοὺς ἀπολογουμένους ἰσχυρίζεσθαι τῷ εἰσαγγελτικῷ

Διογενείδης C vult in adnot. Codicis lectionem defendit S[b] comparata forma *Δίογνις*. Cf. inscr. Atticae ap. Boeckh. Staatshaush. II, p. 154 ib. II, p. 344. Rangabé Ant. Hell. II, n. 822. — *ἢ ὁ νόμος*: *ἢ* (*ὅσον*) *ὁ ν.* C. — *Ἀγασικλῆς*: *αγησικλης* A. *η* in textu retinuit B, in adnot. corrigendum censens ex Harpocr. *περὶ Ἀγασικλέους Ὑπερίδης λέγει· γέγραπται καὶ Δεινάρχῳ λόγος κατ' αὐτοῦ, ἐν ᾧ δεδήλωται ὅτι Ἁλιμουσίοις συνεδίκασε καὶ διὰ τοῦτο ξένος ὢν τῇ πολιτείᾳ ἐνεγράφη.* Receperunt emendationem S. C. L. — *Πειραιέως*: *Πειραιῶς* C. — *ἐνεγράφη* primus scripsit S. *ενεγρα* in fine versus A; cetera evanuerunt propter papyrum deletum. *ἐνεγράφθη* B, cui supplemento vel spatium vix sufficeret. — *δ' ὑπέρ*: literae *δυπ* evanuerunt in cod. — *ἐνυπνίων*: *ενυπνι. .* A. — *ἑωρακέναι*: *εω. . . . ναι* A. *ἑορακέναι* C. — *ὧν οὐδεμία*: *ωνουδε|μ. .* A, ita ut literae *μ* dimidia pars compareat. *καὶ ὅμως οὐδεμία* Patakis ap. S[b]. Verba *ὧν* — *τούτων* sana non esse judicat C. — *αἰτιῶν*: *αι|τι. .* A, in quo etiam ultimus literae *ν* ductus conspicuus.

Col. 20. *οὐδέν*: *ουδενι* A pr. — *τῷ*: *τω* A. — *πρὶν αὐτό*: *πρὶν ἂν αὐτὸ* conj. S in adnot. *ἂν* prorsus necessarium esse dicit C, aliter judicant Kayser. JBL. S[b]. — *ἐξετάσωσιν*: *εξετασιν* A pr. — *ἔστιν*: *ἐστὶν* S.C. — *ἢ μή· οὐ μὰ Δία, οὐχ*: *ἢ οὔ· μὰ Δί' οὐχ* C, quod conjecturam non improbat S[b], rejicit JBL. — *τῇ κατηγορίᾳ*: *τηκατηγορ α* A. — *οὐ φάσκων*: ita editores omnes. *ο* pro *οὐ* A in fine versus sequente papyri fissura. *ὁ φάσκων* Spengel. — *τῷ εἰσαγγελτικῷ*:

νόμῳ, ὃς κελεύει κατὰ τῶν ῥητόρων αὐτῶν τὰς εἰσαγ-
γελίας εἶναι περὶ τοῦ λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ,
οὐ [κατὰ πάν|των Ἀθηναίων. ἐγὼ δὲ οὔτε πρότερον 21
οὐδενὸς ἂν μνησθείην ἢ τούτου, οὔτε πλείους οἶμαι
δεῖν λόγους ποιεῖσθαι περὶ ἄλλου τινὸς ἢ ὅπως ἐν
δημοκρατίᾳ κύριοι οἱ νόμοι ἔσονται, καὶ αἱ εἰσαγγελίαι
καὶ αἱ ἄλλαι κρίσεις κατὰ τοὺς νόμους εἰσίασιν εἰς τὸ
δικάστήριον· διὰ τοῦτο γὰρ ὑμεῖς ὑπὲρ ἁπάντων τῶν
ἀδικημάτων, ὅσα ἔστιν ἐν τῇ πόλει, νόμους ἔθεσθε
p. 5 χωρὶς περὶ ἑκάστου αὐτῶν. ἀσεβεῖ τις περὶ τὰ ἱερά·
γραφαὶ ἀσεβείας πρὸς τὸν βασιλέα (εἰσίν). φαῦλός
ἐστι πρὸς τοὺς ἑαυτοῦ γονεῖς· ὁ ἄρχων ἐπὶ τούτου
κάθηται. παράνομά τις ἐν τῇ πόλει | γράφει· θεσμο- 22
θετῶν συνέδριον ἔστιν. ἀπαγωγῆς ἄξια ποιεῖ· ἀρχὴ
τῶν ἕνδεκα καθέστηκε. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ
τῶν ἄλλων ἀδικημάτων ἁπάντων καὶ νόμους καὶ ἀρχὰς
καὶ δικαστήρια τὰ προσήκοντα ἑκάστοις αὐτῶν ἀπέδοτε.

τωεισαγγελτικω A. — εἶναι: ε|ναι A propter papyrum laesum in fine versus. εἰςιέναι Patakis. — λέγειν: λεγει | A. — μὴ τὰ ἄριστα: μηουταααριο α A. οὐ vix recte se habere monuit B, omiserunt ceteri editt., defendere conatus est JBL.

Col. 21. ποιεῖσθαι: sic A. ποεῖσθαι S, quod per errorem codici tribuunt C. L. — ὅπως S. C. L. οπως A. ὅτι ὡς B. — εἰσίασιν: εισισασιν A. — τῇ πόλει: τηπολει A. — γραφαὶ ἀσεβείας: A post γραφαι literam β exhibet puncto superimposito delendam docens. B εἰσιν desiderat, quod C post γραφαί, Kayser et S[b] post ἀσεβείας, L post βασιλέα inserunt. γράφεται S. γραφαὶ εἰσίασιν Patakis. Verbum omissum defendit JBL. — βασιλέα (εἰσίν): βασιλεαι A. — κάθηται: καθη A propter papyrum laesum. — τῇ πόλει: τηπολει A.

Col. 22. γράφει: γραφη A pr. — ἔστιν: εστι A in fine versus. ἔστι B. S, idem in adnot. ἔστιν? — ἀρχὴ: αχρη A pr. — καθέστηκε: in cod. media literae ε finalis linea longius producitur. καθέστηκεν C. — δικαστήρια: δικαστηρια A. — ἀπέδοτε: αποδοτε A pr. —

ὑπὲρ τίνων οὖν οἴεσθε δεῖν τὰς εἰσαγγελίας γίγνεσθαι; τοῦτ' ἤδη καθ' ἕκαστον ἐν τῷ νόμῳ ἐγράψατε, ἵνα μὴ ἀγνοῇ μηδείς. ἐάν τις, φησί, τὸν δῆμον τὸν Ἀθηναίων καταλύῃ· εἰκότως, ὦ ἄνδρες δικασταί· ἡ γὰρ τοιαύτη αἰτία οὐ παραδέχεται σκῆψιν οὐδεμίαν οὐδενὸς
23 οὐδ' ὑπωμοσίαν, ἀλλὰ τὴν ταχίστην αὐτὴν δεῖ | εἶναι ἐν τῷ δικαστηρίῳ· ἢ συνίῃ ποι ἐπὶ καταλύσει τοῦ δήμου ἢ ἑταιρικὸν συναγάγῃ, ἢ ἐάν τις πόλιν τινὰ προδῷ ἢ ναῦς ἢ πεζὴν ἢ ναυτικὴν στρατιάν, ἢ ῥήτωρ ὢν μὴ λέγῃ τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνων· τὰ μὲν ἄνω τοῦ νόμου κατὰ πάντων τῶν πολιτῶν γράψαντες, ἐκ πάντων γὰρ καὶ τἀδικήματα ταῦτα γένοιτ' ἄν· τὸ δὲ τελευταῖον τοῦ νόμου κατ' αὐτῶν τῶν ῥητόρων, παρ' p. 6
οἷς ἔστιν καὶ τὸ γράφειν τὰ ψηφίσματα. ἐμαίνεσθε γὰρ ἄν, εἰ ἄλλον τινὰ τρόπον τὸν νόμον τοῦτον ἔθεσθε
24 ἢ οὕτως, ἢ εἰ τὰς μὲν τιμὰς καὶ τὰς | ὠφελίας ἐκ

οἴεσθε: ᾦεσθε C. — ἀγνοῇ: αγνοη A. — καταλύῃ: ita Sb. C. L. καταλυόη A. καταλύσῃ B. S. — τοιαύτη: τοιαυτηι A. — σκῆψιν οὐδεμίαν: literae νο in cod. deletae sunt. — ὑπωμοσίαν: A Θ pro O, puncto sub media lineola posito corr.

Col. 23. εἶναι ἐν τῷ δικαστηρίῳ: εἰσιέναι εἰς τὸ δικαστήριον Bakius ap. C. — ποι: που A pr. — συναγάγῃ: συναγαγη A. — ῥήτωρ: ρητω· A. — δήμῳ τῷ: δημωιτω. A. — ἐκ πάντων: εκπαντῶ| A. — κατ' αὐτῶν τῶν: κατατων A pr. — ἔστιν: ἔστι B. S (qui codicis lectionem restitui jubet in add.). C. — ἄλλον τινά: αλλοτια|να (ν supra) A; α in fine versus ex lineola conjunctionem indicante ortum videtur. — ἢ εἰ τάς: hoc voluisse videtur A, in quo exstat ητας (ει supra), litera η non expuncta, ut solet in mutandis, non addendis literis. εἰ τάς B. S. C. L. „Mihi satis certum est compluscula verba post ἢ οὕτως vel ἢ οὑτωσί, quod in ουτωσει facile potuit corrumpi, scribae socordia intercidisse. Praeterea κίνδυνον ἀνατιθέναι τινί non facile credam Graecum esse". C in adnot.

C. 24. ὠφελείας C. L. — ὑπὲρ αὐτῶν: ὑπὲρ αὑτῶν Kayser. —

τοῦ λέγειν οἱ ῥήτορες καρποῦνται, τοὺς δὲ κινδύνους
ὑπὲρ αὐτῶν τοῖς ἰδιώταις ἀνεθήκατε. ἀλλ' ὅμως Πο-
λύευκτος οὕτως ἐστὶν ἀνδρεῖος ὥστε εἰσαγγελίαν διώκων
οὐκ ἔφη δεῖν τοὺς φεύγοντας τῷ εἰσαγγελτικῷ νόμῳ
χρῆσθαι. καὶ οἱ μὲν ἄλλοι πάντες κατήγοροι, ὅταν
οἴωνται δεῖν ἐν τῷ προτέρῳ λόγῳ ὑφελεῖν τῶν φευγόν-
των τὰς ἀπολογίας, τοῦτο παρακελεύονται τοῖς δι-
καστaῖς μὴ ἐθέλειν ἀκούειν τῶν ἀπολογουμένων, ἐάν
τινες ἔξω τοῦ νόμου λέγωσιν, ἀλλ' ἀπαντᾶν πρὸς τὰ
λεγόμενα καὶ κελεύειν τὸν νόμον ἀναγινώσκειν· σὺ δὲ
τοὐναν|τίον τὴν εἰς τοὺς νόμους καταφυγὴν ἐκ τῆς 25
ἀπολογίας οἴει δεῖν ἀφελέσθαι Εὐξενίππου.

Καὶ πρὸς τούτοις οὐδὲ βοηθεῖν οὐδένα φῂς δεῖν
αὐτῷ οὐδὲ συναγορεύειν, ἀλλὰ παρακελεύῃ τοῖς δι-
καστaῖς μὴ θέλειν ἀκούειν τῶν ἀναβαινόντων. καίτοι
τί τούτων ἐν τῇ πόλει βέλτιον ἢ δημοτικώτερόν ἐστι,
πολλῶν καὶ ἄλλων καλῶν ὄντων, ἢ ὁπόταν τις ἰδιώτης
εἰς ἀγῶνα καὶ κίνδυνον καταστὰς μὴ δύνηται ὑπὲρ
p. 7 ἑαυτοῦ ἀπολογεῖσθαι, τούτῳ τὸν βουλόμενον τῶν
πολιτῶν ἐξεῖναι ἀναβάντα βοηθῆσαι καὶ τοὺς δικαστὰς
ὑπὲρ τοῦ πράγματος τὰ δίκαια διδάξαι; | ἀλλὰ νὴ Δία 26

εἰσαγγελίαν: εισαγγελιας A pr. — καὶ οἱ μὲν: non recte L dicit literam ο in cod. expunctam esse. — ἐάν τινες: ἐάν τι C in adnot. A exhibet τι.|νες. — ἀναγινώσκειν: ἀναγιγνώσκειν C. L.

Col. 25. φῂς: φης A. — αὐτῷ: αυτω A. — παρακελεύῃ: παρακελεύει mavult B, scripsit C. — μὴ θέλειν: μὴ ἐθέλειν C. — τούτων: τούτου S. C. Codicis lectionem tenent B comparato loco orat. p. Lycophr. col. 9. et Kayser. In utroque loco pronomen non ad sequentem sententiam, sed ad τὰ ἐν τῇ πόλει referendum videtur; scribendum igitur τούτων τῶν, nisi articulus praetermissus defendi potest. — τῇ πόλει: τηπολει A. — βέλτιον: βελτεῖον A. — δημοτικώτερόν: literae ημο in fine versus evanuerunt in cod. — ὑπὲρ τοῦ πράγματος: suspiciosum esse ὑπὲρ pro περὶ dicit C in adnot.

Col. 26. νὴ Δία — κέχρησαι: „vitiosum sine controversia

αὐτὸς τοιούτῳ πράγματι οὐ κέχρησαι, ἀλλ' ὅτ' ἔφευγες τὸν ἀγῶνα ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου, δέκα μὲν συνηγόρους ἐκ τῆς Αἰγηίδος φυλῆς ᾐτήσω, ὧν καὶ ἐγὼ εἷς ἦν αἱρεθεὶς ὑπὸ σοῦ, ἐκ δὲ τῶν ἄλλων Ἀθηναίων ἐκάλεις ἐπὶ τὸ δικαστήριον τοὺς βοηθήσοντάς σοι. καὶ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; αὐτῷ δὲ τούτῳ τῷ ἀγῶνι πῶς κέχρησαι; οὐ κατηγόρησας ὁπόσα ἐβούλου; οὐ Λυκοῦργον ἐκάλεις συγκατηγορήσοντα, οὔτε τῷ λέγειν οὐδενὸς τῶν ἐν τῇ πόλει καταδεέστερον ὄντα, παρὰ τούτοις τε μέτριον καὶ ἐπιεικῆ δοκοῦντα εἶναι; εἶτα
27 σοὶ μὲν ἔξεστι καὶ φεύγοντι τοὺς βοηθήσοντας κα|λεῖν καὶ διώκοντι τοὺς συγκατηγόρους ἀναβιβάσασθαι, ὃς οὐ μόνον ὑπὲρ σεαυτοῦ δύνασαι εἰπεῖν, ἀλλὰ καὶ ὅλῃ πόλει πράγματα παρέχειν ἱκανὸς εἶ, Εὐξενίππῳ δ' ὅτι ἰδιώτης ἐστὶ καὶ πρεσβύτερος οὐδὲ τοὺς φίλους καὶ τοὺς οἰκείους ἐξέσται βοηθεῖν, εἰ δὲ μή, διαβληθή- p. 8
σονται ὑπὸ σοῦ;

... pro μὰ Δία, deinde αὐτὸς τοιούτῳ πράγματα οὐ κέχρησαι non significat id quod locus postulat et sine exemplo dictum est." C. αὐτός τοι τούτῳ Patakis. — ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου: ita A corr.; quae prima manu scripsit, non satis certo distingui possunt. „The last four lettres [post ἀγῶνα in fine versus] seem to have been τουθ; the two first have been cancelled, and θ has been corrected to π, so as to leave υπ; the υπ however is repeated after the original line, followed by αλε." B. In sequenti linea A pr. ξουουδεκα. „The interpolated lettres are (apparently) ανδρτουεξοι, the first four of which form part of the word Αλεξανδρου." B. — ᾐτήσω: ητησωι A, ut videtur, quamquam duae primae literae non distincte comparent. ᾑρήσω Spengel. — ἐγώ: εγωι A. — καὶ τά: κατα A pr. — τῷ ἀγῶνι: τοιαγωνος A pr. — οὐ Λυκοῦργον: οὐ postea additum videtur in cod. — συγκατηγορήσοντα: συνκατηγορησοντα A. ν retinet S. — τῇ πόλει: τηπολει A. — ἐπιεικῆ: επεικηι A. ἐπεικῆ S. — φεύγοντι: lit. υ paene evanuit in cod.

C. 27. συγκατηγόρους: συνκατηγορους A. S. — ὅλῃ πόλει: ὅλῃ τῇ πόλει C. — Εὐξενίππῳ: ευξενιππω A. — ὑπὸ σοῦ; Νὴ

Νὴ Δία, τὰ γὰρ πεπραγμένα αὐτῷ δεινά ἐστι καὶ
ἄξια θανάτου, ὡς σὺ λέγεις ἐν τῇ κατηγορίᾳ. σκέψασθε
δὴ, ὦ ἄνδρες δικασταὶ, καθ' ἓν ἕκαστον αὐτῶν ἐξετά-
ζοντες. ὁ δῆμος προσέταξεν Εὐξενίππῳ τρίτῳ αὐτῷ
ἐγκατακλιθῆναι εἰς τὸ ἱερὸν, οὗτος δὲ κοιμηθεὶς
ἐνύπνιόν φησιν ἰδεῖν, | ὃ τῷ δήμῳ ἀπαγγεῖλαι. τοῦτ' εἰ 28
μὲν ὑπελάμβανες ἀληθὲς εἶναι, καὶ ὃ εἶδεν ἐν τῷ ὕπνῳ
τοῦτ' αὐτὸν ἀπαγγεῖλαι πρὸς τὸν δῆμον, τί καὶ ἀδικεῖ
ἃ ὁ θεὸς αὐτῷ προσέταττε ταῦτ' ἐξαγγείλας πρὸς
'Αθηναίους; εἰ δὲ, ὥσπερ νυνὶ λέγεις, ἡγοῦ αὐτὸν
καταψεύσασθαι τοῦ θεοῦ καὶ χαριζόμενόν τισι μὴ
τἀληθῆ ἀπηγγελκέναι τῷ δήμῳ, οὐ ψήφισμα ἐχρῆν σε
πρὸς τὸ ἐνύπνιον γράφειν, ἀλλ' ὅπερ ὁ πρότερος ἐμοῦ
λέγων εἶπεν, εἰς Δελφοὺς πέμψαντα πυθέσθαι παρὰ
τοῦ θεοῦ τὴν ἀλήθειαν. σὺ δὲ τοῦτο μὲν οὐκ ἐποίησας,
ψήφισμα δὲ αὐτοτελὲς ἔγραψας κατὰ δυοῖν φυλαῖν
οὐ μόνον ἀδικώτατον, | ἀλλὰ καὶ ἐναντίον αὐτὸ ἑαυτῷ· 29
δι' ὅπερ ἥλως παρανόμων, οὐ δι' Εὐξένιππον.

'Εξετάσωμεν δὲ περὶ αὐτοῦ τουτογὶ τὸν τρόπον.

Δία, τὰ γάρ: proposuerunt hanc distinctionem Spengel. Kayser. Patakis. C, nisi quod hic puncto distinxit post *σοῦ*, receperunt Sb. L; commendatur etiam interpunctionis signo in cod. versibus interposito. *ὑπὸ σοῦ, νὴ Δία, τὰ* B. *ὑπὸ σοῦ, νὴ Δία· τὰ* S, uterque a v. *σκέψασθε* novum orationis membrum incipiens. — *κατηγορίᾳ*: *κατηγορια* A, ut videtur, papyro in fine verbi laeso. — *ἐγκατακλιθῆναι*: *ενκατακλιθηναι* A. *ἐνκατακλιθῆναι* S. *ἐγκατακλινῆναι* C. — *ἱερὸν*: *ιερον* A.

Col. 28. *ἀληθές*: ita B. C. JBL. L, A corr. secuti. *αληθη* A pr. *ἀληθῆ* S. Sb. — *ἀδικεῖ*: *αδικια* A pr. *ἁ* initio sequentis versus postea additum videtur. — *ἡγοῦ*: *ἠτιῶ* B in textu, qui quum *ηιου* (τ supra) in cod. legere sibi visus esset, errorem confitetur in add., notam supra literam *η* positam indicare aspiratam conjiciens. — *καταψεύσασθαι*: *κατεψεῦσθαι* Patakis. — *πρότερος*: *ποτερος* A pr. — *εἶπεν*: *ειπειν* A pr.

αἱ Φυλαὶ σύνδυο γενόμεναι τὰ ὄρη τὰ ἐν Ὠρωπῷ
διείλοντο, τοῦ δήμου αὐταῖς δόντος. τοῦτο τὸ ὄρος
ἔλαχεν Ἀκαμαντὶς καὶ Ἱπποθοωντίς. ταύτας τὰς p. 9
Φυλὰς ἔγραψας ἀποδοῦναι τὸ ὄρος τῷ Ἀμφιαράῳ καὶ
τὴν τιμὴν ὧν ἀπέδοντο, ὡς πρότερον τοὺς ὁριστὰς
τοὺς πεντήκοντα ἐξελόντας αὐτὸ τῷ θεῷ καὶ ἀφορί-
σαντας, καὶ οὐ προσηκόντως τὰς δύο Φυλὰς ἐχούσας
τὸ ὄρος. μικρὸν δὲ διαλιπὼν ἐν ταὐτῷ ψηφίσματι
30 γράφεις τὰς ὀκτὼ Φυλὰς ποιῆσαι ταῖν | δυοῖν Φυλαῖν
τὰ διάφορα καὶ ἀποδοῦναι, ὅπως ἂν μὴ ἐλαττῶνται.
καίτοι εἰ μὲν ἴδιον τῶν Φυλῶν ἀφῃροῦ τὸ ὄρος, πῶς
οὐκ ὀργῆς ἄξιος; εἰ δὲ μὴ προσηκόντως εἶχον αὐτό,
ἀλλὰ τοῦ θεοῦ ὄν, διὰ τί τὰς ἄλλας Φυλὰς ἔγραφες
αὐταῖς προσαποδιδόναι ἀργύριον; ἀγαπητὸν γὰρ ἦν
αὐταῖς εἰ τὰ τοῦ θεοῦ ἀποδώσουσι καὶ μὴ προσαπο-
τίσουσιν ἀργύριον.

Ταῦτ' ἐν τῷ δικαστηρίῳ ἐξεταζόμενα οὐκ ὀρθῶς
ἐδόκει γεγράφθαι, ἀλλὰ κατεψηφίσαντό σου οἱ δι-
κασταί. εἶτ' εἰ μὲν ἀπέφυγες τὴν γραφήν, οὐκ ἂν
κατεψεύσατο οὗτος τοῦ θεοῦ, ἐπειδὴ δὲ συνέβη σοὶ
ἁλῶναι, Εὐξένιππον δεῖ ἀπολωλέναι; καὶ σοὶ |

Col. 29. *ὄρη*: *ορηι* A. — *δόντος*. Omissa hac distinctione post *ὄρος* punctum posuit B; a Schneidewino admonitus ipse correxit in erratis. — *τοῦτο τὸ ὄρος*: *τὸ αὐτὸ ὄρος* Kayser. — *ἔλαχεν*: *ἔλαχον* C. — *ταὐτῷ*: *ταυτω* A. — *ὀκτώ*: *οκτωι* A. — *ποιῆσαι*: *πορίσαι* C, non improbante Sb. — *ταῖν*: *ταιν* A.

Col. 30. *ἴδιον τῶν*: *ἴδιον* (*ὂν*) *τῶν* C. Patakis. Sb. JBL. — *ἀφῃροῦ*: *αφηιρου* A. — *ἄξιος; εἰ*: *ἄξιος εἶ; εἰ* S. C. *ἄξιον; εἰ* Langius ap. S. — *προσαποδιδόναι ἀργύριον*: *προσαποδιδόναι* (*τ*)*ἀργύριον* C. — *αὐταῖς*: *αυτοις* A quod retinuit L. — *ἀποδώσουσιν*: *ἀποδώσουσι* B. S (qui in add. *ν* restitui jubet). C. L. — *προσαποτίσουσιν*: *προσαποτισουσι* A. — *εἶτ' εἰ*: *ετει* A. — *ἀπέφυγες*: *απεφευγες* A. *ἀπέφευγες* B. — *ἀπολωλέναι;* interrogationis signum posui suadente Kaysero; ceteri interpunctione affirmativa vel majore vel minore usi sunt.

μὲν τῷ τοιοῦτο ψήφισμα γράψαντι πέντε καὶ εἴκοσι 31
δραχμῶν ἐτιμήθη, τὸν δὲ κατακλιθέντα εἰς τὸ ἱερὸν
τοῦ δήμου κελεύσαντος μηδ' ἐν τῇ Ἀττικῇ δεῖ τεθάφθαι;
p. 10 Ναί· δεινὰ γὰρ ἐποίησεν περὶ τὴν Φιάλην ἐάσας
Ὀλυμπιάδα ἀναθεῖναι εἰς τὸ ἄγαλμα τῆς Ὑγιείας.
τοῦτο γὰρ ὑπολαμβάνεις, ἐφόδιον ἑαυτῷ εἰς τὸν ἀγῶνα
τὸ ἐκείνης ὄνομα παραφέρων καὶ κολακείαν ψευδῆ
κατηγορῶν Εὐξενίππου, μῖσος καὶ ὀργὴν αὐτῷ συλ-
λέξειν παρὰ τῶν δικαστῶν. δεῖ δέ, ὦ βέλτιστε, μὴ ἐπὶ
τῷ Ὀλυμπιάδος ὀνόματι καὶ τῷ Ἀλεξάνδρου τῶν
πολιτῶν | τινα ζητεῖν κακόν τι ἐργάσασθαι, ἀλλ' ὅταν 32
ἐκεῖνοι πρὸς τὸν δῆμον τὸν Ἀθηναίων ἐπιστέλλωσι μὴ
τὰ δίκαια μηδὲ τὰ προσήκοντα, τότε ἀναστάντα ὑπὲρ
τῆς πόλεως ἀντιλέγειν καὶ πρὸς τοὺς ἥκοντας παρ'

Col. 31. *ἐτιμήθη*: ετειμηθηι A. — *κατακλιθέντα*: κατακλινέντα C. — *ἱερόν*: ϊερον A. — *Ἀττικῇ*: αττικη A. — *τεθάφθαι; Ναί· δεινά*: ita scripsi Kayserum secutus. τεταφθαι|ναι A corr. ut videtur, quum literae θαι minoribus ductibus scriptae spatium versus excurrant, quamquam literae minores in margine positae saepe ad primam manum referendae sunt. „The MS. appears to have had τεταφεναι originally, but the scribe may probably have intended to correct it to τεθαφθαι, if so, he had omitted to change the τ into θ, and cancel the ναι" B, qui in textu dedit τεθάφθαι omisso ναί. ταφῆναι· δεινά S. JBL. ταφῆναι. (*Νὴ Δία*,) δεινά C. S[b]. ταφῆναι. *Ναί*· δεινά L. Ceterum non praetermittendum, interpunctionis signum versui a literis ναι incipienti suppositum favere eorum sententiae qui syllaba ναι finiri orationis membrum censeant; quamquam inde non sequitur, correctorem, si quidem correcta sunt verba, temere has literas loco suo reliquisse. — *δεινὰ γάρ*: δεινγαρ A pr. — *ἐποίησεν*: ἐποίησε B. S (qui in add. codicis lectionem praefert). C. L. — *Ὑγιείας*: υγειαο A. ut Ὑγείας in Ὑγιίας mutatum videatur, de qua forma v. Hermann. ad Aesch. Ag. 968; nisi punctum illud casu ortum est. — *τοῦτο*: τούτῳ conj. S. οὕτω Kayser. — *ἑαυτῷ*: εαυτω A. σαυτῷ C. — *κολακείαν ψευδῆ*: κολαζει|ανψευδει A pr. — *συλλέξειν*: συν|λεξειν A. συνλέξειν S. — *τῷ Ὀλυμπιάδος*: των litera ν expuncta A. — *καὶ τῷ*: καιτω A.

αὐτῶν δικαιολογεῖσθαι καὶ εἰς τὸ κοινὸν τῶν Ἑλλήνων
συνέδριον πορεύεσθαι βοηθήσοντα τῇ πατρίδι. σὺ δ'
ἐκεῖ μὲν οὐδεπώποτε ἀνέστης οὐδὲ λόγον περὶ αὐτῶν
ἐποιήσω, ἐνθάδε δὲ μισεῖς Ὀλυμπιάδα ἐπὶ τῷ ἀπολέσαι
Εὐξένιππον, καὶ φῇς κόλακα αὐτὸν εἶναι ἐκείνης καὶ
Μακεδόνων· ὃν ἐὰν δείξῃς ἀφιγμένον πώποτε εἰς
33 Μα|κεδονίαν ἢ ἐκείνων τινὰ ὑποδεξάμενον εἰς τὴν αὐτοῦ
οἰκίαν ἢ χρώμενον τῶν ἐκεῖθέν τινι ἢ ἐντυγχάνοντα
ἢ λόγους καὶ οὐστινασοῦν ἢ ἐπ' ἐργαστηρίου ἢ ἐν τῇ
ἀγορᾷ ἢ ἄλλοθί που περὶ τούτων τῶν πραγμάτων
εἰρηκότα καὶ μὴ κοσμίως καὶ μετρίως τὰ αὑτοῦ πράτ-
τοντα ὥσπερεί τις καὶ ἄλλος τῶν πολιτῶν, χρησά- p. 11
σθωσαν αὐτῷ οἱ δικασταὶ ὅ τι βούλονται. εἰ γὰρ ταῦτα
ἦν ἀληθῆ ἃ κατηγορεῖς, οὐκ ἂν σὺ μόνος ᾔδεις, ἀλλὰ
καὶ οἱ ἄλλοι πάντες οἱ ἐν τῇ πόλει, ὥσπερ καὶ περὶ
τῶν ἄλλων ὅσοι τι ὑπὲρ ἐκείνων ἢ λέγουσιν ἢ πράτ-
34 τουσιν, | οὐ μόνον αὐτοὶ, ἀλλὰ καὶ οἱ ἄλλοι Ἀθηναῖοι
ἴσασι καὶ τὰ παιδία τὰ ἐκ τῶν διδασκαλείων καὶ τῶν
ῥητόρων τοὺς παρ' ἐκείνων μισθαρνοῦντας καὶ τῶν
ἄλλων τοὺς ξενίζοντας τοὺς ἐκεῖθεν ἥκοντας καὶ ὑπο-
δεχομένους καὶ εἰς τὰς ὁδοὺς ὑπαντῶντας ὅταν

Col. 32. *τῶν Ἑλλήνων*: *τω̄[ελληνων* A. — *οὐδὲ λόγον*: *οὐδὲ λόγον οὐδένα* Patakis. — *μισεῖς*: *μεισεις* A. — *φῇς*: *φης* A. — *δείξῃς*: *δειξης* A. — *ἀφιγμένον*: *αφειγμενον* A.

Col. 33. *αὐτοῦ*: *αὑτοῦ* B. — *τινι* in margine addit A. — *λόγους*: *λογουςς* A pr. — *τῇ ἀγορᾷ*: *τηαγοραι* A. — *χρησάσθωσαν*: *χρησάσθων* C. — *αὐτῷ οἱ*: *αυτωοι* A. — *ταῦτα ἦν*: *ταῦτ' ἦν* C. — *μόνος*: literam *ο* minore forma adscriptam, *ς* paene deletam in fine versus habet A. — *ᾔδεις*: *ηδεις* A.

Col. 34. *οὐ μόνον αὐτοί*: *οὐ μόνον οὗτοι* C, haec addens: „*αὐτοὶ* sunt *οἱ μακεδονίζοντες*, quod absurdum est. Emenda *οὗτοι*, *hi* judices; caeterum impeditus hic locus est et inconcinnus, ut periisse nonnulla credam et male coaluisse scripturae reliquias". *οὐ μόνον οἱ ἀστοὶ* Patakis. Codicis lectionem defendunt Sb. JBL. —

προσίωσι· καὶ οὐδαμοῦ ὄψει οὐδὲ παρ' ἑνὶ τούτων
Εὐξένιππον καταριθμούμενον· σὺ δ' ἐκείνων μὲν οὐδένα
κρίνεις οὐδ' εἰς ἀγῶνα καθίστης, οὓς πάντες ἴσασι
ταῦτα πράττοντας, κατ' Εὐξενίππου δὲ κολακείαν
κατηγορεῖς, οὗ ὁ βίος τὴν αἰτίαν οὐ παραδέχεται. |
καίτοι, εἰ νοῦν εἶχες, περί γε τῆς Φιάλης τῆς ἀνατε- 35
θείσης οὔτ' ἂν Εὐξένιππον ᾐτιῶ οὔτ' ἂν ἄλλον λόγον
οὐδένα ἐνταῦθα ἐποιήσω· οὐ γὰρ ἁρμόττει. διὰ τί; καί
μου τὸν λόγον, ὦ ἄνδρες δικασταὶ, ἀκούσατε, ὃν
μέλλω λέγειν.

Ὑμῖν Ὀλυμπιὰς ἐγκλήματα πεποίηται περὶ τὰ ἐν
Δωδώνῃ οὐ δίκαια, ὡς ἐγὼ δὶς ἤδη ἐν τῷ δήμῳ ἐναντίον
ὑμῶν καὶ τῶν ἄλλων Ἀθηναίων πρὸς τοὺς ἥκοντας
παρ' αὐτῆς ἐξήλεγξα οὐ προσήκοντα αὐτὴν ἐγκλήματα
τῇ πόλει ἐγκαλοῦσαν. ὑμῖν γὰρ ὁ Ζεὺς ὁ Δωδωναῖος
p. 12 προσέταξεν ἐν τῇ μαντείᾳ τὸ ἄγαλμα τῆς Διώνης
ἐπικοσ|μῆσαι· καὶ ὑμεῖς πρόσωπόν τε κοσμησάμενοι ὡς 36
οἷόν τε κάλλιστον καὶ τἄλλα πάντα τὰ ἀκόλουθα,

προσίωσι: *προΐωσι* C. Patakis. JBL. — *πράττοντας*: *πράττοντες* A pr. — *κατ' Εὐξενίππου*: [*κατ'*] *Εὐξ* C. — *κατηγορεῖς*: *κ* in cod. evanuit propter papyrum laesum. — *οὗ ὁ βίος*: *οὗ βίος* A pr. — *τὴν αἰτίαν*: *ταύτην τὴν αἰτίαν* Bakius ap. C, qui aut hoc aut *ταύτην αἰτίαν* verum esse censet.

Col. 35. *καίτοι, εἰ νοῦν εἶχες*: *καιτοι ει ουνειχες* A in fine columnae 34 habet uncis inclusa, eadem repetuntur initio col. 35, litera *ν* a correctore supra lineam addita. — *ᾐτιῶ*: *ητιωι* A. — *ἐποιήσω*: *εποιησωι* A. — *λέγειν. Ὑμῖν*: interpunctionis signum in cod. ita ponitur, ut *ὑμῖν* ad antecedentia trahatur; corrigere tamen voluisse videtur scriba alia lineola voci *λεγειν* in fine versus supposita. — *ἐγκλήματα*: *ενκληματα* A. *ἐνκλήματα* S. — *Δωδώνῃ*: *δωδωνη* A. — *οὐ* —— *ἐγκαλοῦσαν*: haec uncis includit C, quippe quae locum impediant et onerent. *ἐνκλήματα* et *ἐνκαλοῦσαν* S contra codicem per errorem in add. retractatum.

Col. 36. *πρόσωπόν τε*: lit. *ε* non satis distincte expressa in cod. — *κοσμησάμενοι*: *κομισάμενοι* Patakis. S[b]. — *τὰ ἀκόλουθα*: *τὰ* om. L per errorem typothetae, ut videtur. *τἀκόλουθα* C. —

καὶ κόσμον πολὺν καὶ πολυτελῆ τῇ Θεῷ παρασκευάσαντες] καὶ θεωρίαν καὶ θυσίαν πολλῶν χρημάτων ἀποστείλαντες ἐπεκοσμήσατε τὸ ἕδος τῆς Διώνης ἀξίως καὶ ὑμῶν αὐτῶν καὶ τῆς θεοῦ. ὑπὲρ τούτων ὑμῖν τὰ ἐγκλήματα ἦλθε παρ' Ὀλυμπιάδος ἐν ταῖς ἐπιστολαῖς, ὡς ἡ χώρα εἴη ἡ Μολοσσία αὐτῆς, ἐν ᾗ τὸ ἱερὸν ἐστιν· οὔκουν προσῆκεν ἡμᾶς τῶν ἐκεῖ οὐδὲ ἓν κινεῖν. ἐὰν μὲν τοίνυν τὰ περὶ τὴν Φιάλην γεγονότα ἐν ἀδικήματι
37 *ψηφίσησθε εἶναι, | τρόπον τινὰ καὶ ἡμῶν καταγινώσκομεν ὡς τὰ ἐκεῖ οὐκ ὀρθῶς ἐπράξαμεν· ἐὰν δ' ἐπὶ τοῦ γεγενημένου ἐῶμεν τὰς τραγῳδίας, αὐτῆς καὶ τὰς κατηγορίας ἀφῃρηκότες ἐσόμεθα. οὐ γὰρ δήπου Ὀλυμπιάδι μὲν τὰ Ἀθήνησιν ἱερὰ ἐπικοσμεῖν ἔξεστιν, ἡμῖν δὲ τὰ ἐν Δωδώνῃ οὐκ ἐξέσται, καὶ ταῦτα τοῦ θεοῦ προστάξαντος.*

Ἀλλ' οὐκ ἔστιν, ὦ Πολύευκτε, ὡς ἐμοὶ δοκεῖς, ὅθεν κατηγορίαν οὐκ ἂν ποιήσαιο. καίτοι σε ἐχρῆν, ἐπείπερ προῄρησαι πολιτεύεσθαι, καὶ νὴ Δία καὶ δύνασαι, μὴ τοὺς ἰδιώτας κρίνειν μηδ' εἰς τούτους νεανιεύεσθαι,
38 *ἀλλὰ τῶν ῥητό|ρων ἐάν τις ἀδικῇ, τοῦτον κρίνειν,*

πολυτελῆ: *πολυτελημ* A. — *ἀποστείλαντες*: *απεστειλαντες* A pr. — *θεοῦ. ὑπὲρ*: *θεου. ϋ|περ* A. *ἐγκλήματα*: *ἐνκλήματα* S contra cod. — *ἡ Μολοσσία*: haec uncis includit C ut manifestum emblema, non refragante S[b]; praeterea *Μολλοτία* scribendum fuisse uterque et JBL. monuerunt. — *ἐν ᾗ τὸ ἱερὸν*: *ενητοϊερον* A. — *οὔκουν*: sic S. C. Kayser. *οὐκοῦν* B. *οὐκ οὖν* L. — *προσῆκεν*: *προσήκειν* C. Patakis. — *φιάλην*: *φιλην* A pr. — *ἐν ἀδικήματι*: „nove dictum et perperam dictum pro *ἐν ἀδικήματος μέρει*" C in adnot.

Col. 37. *καταγινώσκομεν*: *καταγει|νωσκομεν* A. *καταγιγνώσκομεν* C. L. — *ἐῶμεν τὰς τραγῳδίας, αὐτῆς καὶ*: distinctionem omittunt B. C, post *αὐτῆς* distinguunt S. L, post *ἐῶμεν* Schaefer. S[b]. Cf. Or. p. Lycophr. col. 10. p. 27 Schn. — *ἀφῃρηκότες*: *αφηρηκοτες* A. — *Δωδώνῃ*: *δωδωνη* A. — *δοκεῖς*: hanc codicis lectionem retinui cum JBL. L. *δοκεῖ* B. S. C. — *ποιήσαιο*: *ποιήσαις* Spengel, dubium num consulto. — *ἐπείπερ*: *εἴπερ* C. — *προῄρησαι*: *προηρησθαι* A, lit. *θ* expuncta. — *Δία*: *δυα* A pr.

στρατηγὸς ἐάν τις μὴ τὰ δίκαια πράττῃ, τοῦτον εἰσαγ-
γέλλειν·(—)παρὰ γὰρ τούτοις ἔστι καὶ τὸ δύνασθαι βλά-
p. 13 πτειν τὴν πόλιν, ὅσοι ἂν αὐτῶν προαιρῶνται, οὐ παρ'
Εὐξενίππῳ οὐδὲ τῶν δικαστῶν τούτων οὐδενί. καὶ οὐ
σὲ μὲν οὕτως οἴομαι δεῖν πράττειν, αὐτὸς δὲ ἄλλον
τινὰ τρόπον τῇ πολιτείᾳ κέχρημαι, ἀλλ' οὐδ' αὐτὸς
ἰδιώτην οὐδένα πώποτε ἐν τῷ βίῳ ἔκρινα, ἤδη δέ τισι
καθ' ὅσον ἐδυνάμην ἐβοήθησα. τίνας οὖν κέκρικα καὶ
εἰς ἀγῶνα καθέστακα; Ἀριστοφῶντα τὸν Ἀζηνιέα, ὃς
ἰσχυρότατος ἐν τῇ πολιτείᾳ γεγένηται· | καὶ οὗτος ἐν 39
τούτῳ τῷ δικαστηρίῳ παρὰ δύο ψήφους ἀπέφυγε·
Διοπείθη τὸν Σφήττιον, ὃς δεινότατος δοκεῖ εἶναι τῶν
ἐν τῇ πόλει· Φιλοκράτη τὸν Ἁγνούσιον ὃς θρασύτατα
καὶ ἀσελγέστατα τῇ πολιτείᾳ κέχρηται· τοῦτον εἰσαγ-
γείλας ἐγὼ ὑπὲρ ὧν Φιλίππῳ ὑπηρετήκει κατὰ τῆς
πόλεως εἷλον ἐν τῷ δικαστηρίῳ καὶ τὴν εἰσαγγελίαν
ἔγραψα δικαίαν καὶ ὥσπερ ὁ νόμος κελεύει, ῥήτορα
ὄντα λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθη-

Col. 38. *κρίνειν, στρατηγός:* κρίνειν (ἢ) στρατηγὸς C. — *προαιρῶνται:* huic verbo in cod. suppositum est interpunctionis signum per errorem, itaque uncis inclusum (—). — *οἴομαι:* οιμαι A pr. — *δὲ ἄλλον:* δὲ (καὶ) ἄλλον? L. — *τῇ πολιτείᾳ:* τηπολιτεια A. — *ἔκρινα:* εκρεινα A. — *καὶ εἰς ἀγῶνα καθέστακα:* haec uncis includit C, formam καθέστακα ex sordibus sequioris Graecitatis esse perhibens; perfecti formam defendit S in schol. et praef. p. XVIII et S[b]; a scriba substitutam esse formae κατέστησα conjicit JBL, cl. col. 47. — *Ἀζηνιέα:* sic scripsi morem editorum secutus. Ἁζηνιέα C et Schaefer. (Demosth. u. s. Zeit. I. p. 159) ex more veterum Atticorum, teste Polemone ap. Suidam s. v. αιζηνιεα A. — *πολιτείᾳ:* πολιτεια A.

Col. 39. *Διοπείθη:* διοπιθη A. — *δοκεῖ:* ἐδόκει Schaefer. — *Ἁγνούσιον:* Ἀγνούσιον B. — *εἰσάγγειλας:* ι|σαγγελιας A pr. ι|σαγγειλας A corr. (certe αγγ voluit scriba, quamquam comparent literae αιτ; praeterea inusitata est syllabarum distinctio, ita ut ι ad τουτον trahere voluisse librarium conjicere liceat.) — *ὑπηρετήκει:* sic Schoemann. ap. S[a]. C. Kayser. υπηρετειkαι A, quamquam α non distincte expressum videtur. ὑπηρέτει καὶ B. S. L, qui suspiciosam

ναίων χρήματα λαμβάνοντα καὶ δωρεὰς παρὰ
τῶν τἀναντία πραττόντων τῷ δήμῳ· καὶ οὐδ'
40 οὕτως ἀπέχρησέ μοι τὴν εἰσ|αγγελίαν δοῦναι, ἀλλ'
ὑποκάτω παρέγραψα· τάδ' εἶπεν οὐ τὰ ἄριστα τῷ
δήμῳ χρήματα λαβών, εἶτα τὸ ψήφισμα αὐτοῦ ὑπέ- p. 14
γραψα· καὶ πάλιν· τάδε εἶπεν οὐ τὰ ἄριστα τῷ
δήμῳ χρήματα λαβών, καὶ τὸ ψήφισμα παρέγραφον.
καὶ ἐστί μοι πεντάκις ἢ ἑξάκις τοῦτο γεγραμμένον· δίκαιον
γὰρ ᾤμην δεῖν τὸν ἀγῶνα καὶ τὴν κρίσιν ποιῆσαι. σὺ δ' ἃ
μὲν εἰπεῖν Εὐξένιππον φῄς οὐ τὰ ἄριστα τῷ δήμῳ οὐκ
εἶχες γράψαι εἰς τὴν εἰσαγγελίαν, ἰδιώτην δ' ὄντα κρίνεις
ἐν τῇ τοῦ ῥήτορος τάξει· μικρὰ δὲ περὶ τῆς ἀντιγραφῆς
41 εἰπὼν ἑτέρας αἰτίας καὶ διαβολὰς | ἥκεις φέρων κατ'
αὐτοῦ, λέγων ὡς Φιλοκλεῖ τὴν θυγατέρα ἐδίδου καὶ
Δημοτίωνος δίαιταν ἔλαβεν, καὶ ἄλλας τοιαύτας κατη-
γορίας, ἵν' ἐὰν μὲν ἀφέμενοι τῆς εἰσαγγελίας περὶ τῶν
ἔξω τοῦ πράγματος κατηγορηθέντων ἀπολογῶνται,
ἀπαντῶσιν αὐτοῖς οἱ δικασταί· τί ταῦθ' ἡμῖν λέγετε;
ἐὰν δὲ μηδένα λόγον περὶ αὐτῶν ποιῶνται, ὁ ἀγὼν
αὐτοῖς χείρων γίνηται· τῶν γὰρ κατηγορηθέντων τὸ μὴ
λαβὸν ἀπολογίαν ὑπὸ τῇ ὀργῇ τῶν δικαστῶν καταλεί-
πεται. καὶ τὸ πάντων δεινότατον τῶν ἐν τῷ [λόγῳ

---

esse lectionem indicat. ὑπηρέτηκε Sa. Spengel. ὑπηρετήκει τὰ τῆς πόλεως Rabe de vita Hyper. Olsn. 1854. 4. p. 4. — δωρεάς: δωρες A pr. — τῷ δήμῳ: τωιδημω A.

Col. 40. εἰσαγγελίαν δοῦναι: εισ|αγγελιανανδουναι A. ἂν obelo notat B. omittunt ceteri omnes. — τῷ δήμῳ: τωδημωι A. — καὶ ἐστί: sic S. καὶ ἔστι B. C. καί ἐστί L. — ᾤμην: ωμην A. — φῄς: φης A. — τῇ τοῦ ῥήτορος: aut ι aut τ omisit A. — μικρά: μεικρα A.

Col. 41. ἔλαβεν: ἔλαβε C. — αὐτοῖς οἱ δικασταί: interpunctionis signum his verbis subscriptum, sed uncis inclusum exhibet A, rectius idem sequenti lineae supponit. — γίνηται: γίγνηται C. L. — καταλείπεται: καταλιπεται A. — δεινότατον: δεινατον A. — τῷ λόγῳ: τωλογωι A. — ὃ σὺ ᾤου: οσοω|ου A pr., ut videtur, sed literae ο ante ω positae υ postea superscripta est.

λεγομένων ὑπὸ σοῦ, ὃ σὺ ᾤου λανθάνειν ὧν ἕνεκα λέγεις, 42
οὐ λανθάνων, ὁπότε παραφθέγγοιο ἐν τῷ λόγῳ πολλάκις, ὡς πλούσιός ἐστιν Εὐξένιππος, καὶ πάλιν διαλιπὼν ὡς οὐκ ἐκ δικαίου πολλὴν οὐσίαν συνείλεκται· ἃ εἰς μὲν τὸν ἀγῶνα τοῦτον οὐδὲν δήπου ἐστὶν εἴτε πολλὰ οὗτος κέκτηται εἴτε ὀλίγα, τοῦ δὲ λέγοντος κακοήθεια καὶ ὑπόληψις εἰς τοὺς δικαστὰς οὐ δικαία, ὡς ἄλλοθί
p. 15 που οὗτοι τὴν γνώμην ἂν σχοίησαν ἢ ἐπ' αὐτοῦ τοῦ πράγματος καὶ πότερον ἀδικεῖ ὑμᾶς ὁ κρινόμενος ἢ οὔ.

Κακῶς δ' ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε, ... ὅτι οὔτε πόλις ἐστὶν οὐδεμία

Col. 42. *τῷ λόγῳ*: τωλογω A. — *συνείλεκται*: συνιλεκται A pr. — *κέκτηται*: litera penultima in cod. *ν* potius est quam *α*. — *κακοήθεια*: κακοηθιά A. — *πράγματος καί*: post *πράγματος* plene distinguunt et sequentia verba ad novum orationis membrum trahunt B. S. Schoemann. apud S^a. S^a. Spengel; contra verba *καί — οὔ* ad antecedentia esse trahenda intellexerunt C. Kayser. S^b. L. Quae sequuntur in cod. usque ad finem columnae mutila sunt, ita ut haec fere sana restent: *καιπο|τε ... αδικειυμασοκρι|ν .... οσηου κα> |κ ... μοιδοκεισει> |δ .. αιωπολυευκτε| ...... αιοιταυταγι> | .... ντεσοτιου| .... στινου> |δ.... ε. τηιοικου> |*; neque in his omnes ductus satis certi. Variis modis supplere deleta VV. DD. conati sunt; *καὶ πότερον ἀδικεῖ ὑμᾶς ὁ κρινόμενος ἢ οὔ· κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε· οἱ δ' Ἀθηναῖοι ταῦτα γινώσκουσι πάντες, ὅτι οὐδὲν μὲν ἔστιν οὐδαμοῦ ἐν τῇ οἴκου* — B, qui in add. de verbis *οἱ δ' Ἀθηναῖοι* hoc monet: „there is a vestige of an *α* at the beginning of the line, and the next letter which is legible appears to be a *κ*: probably the text is *ἀ[λλ' οἱ δί]καιοι*", idem ap. JBL. conjicit *ἀλλ' οἱ βάρβαροι*, et in sequentibus *ὅτι οὐδὲν ἄλλο ἐστὶν οὐδαμοῦ* —. S in textu Babingtonis textum secutus est, nisi quod *ὑποκρινόμενος* scripsit pro *ὁ κρινόμενος* et ex illius emendatione *ἀλλ' οἱ δίκαιοι*, in add. haec proponit: *καὶ πότερος ἀδικεῖ ὑμᾶς ὁ κρινόμενος ἢ σύ, κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε· ἀλλ' οἱ δίκαιοι ταὐτὰ γινώσκουσι πάντες, ὅτι σύ· οὐδὲν γάρ ἐστιν οὐδαμοῦ κτλ.* in quibus *πότερος* et prius *σύ* ex Schoem. emendatione recepta sunt, cui in sequentibus haec placuerunt: *ἀλλὰ δίκαιον* (vel *ἦν δὲ δίκαιον*) *ταὐτὰ γινώσκειν σὲ τῷ δήμῳ* (vel *τῇ πόλει*). *οὐδὲν γὰρ κτλ.* Cum utroque de prima sententiae parte consentit Spengel., in altera haec fere exspectat: *καὶ βάρβαροι ταῦτα γινώσκουσιν, ὅτι ... ἐστὶν οὐδεὶς ἐν τῇ κτλ.* At *OY*, non *CY* legi in cod.,

ἐν τῇ οἰκου|μένῃ οὔτε μόναρχος οὔτε ἔθνος μεγαλο-
43 ψυχότερον τοῦ δήμου τοῦ Ἀθηναίων, τοὺς δὲ συκο-
φαντουμένους τῶν πολιτῶν ὑπό τινων ἢ καθ' ἕνα ἢ
ἄθρους οὐ προΐεται ἀλλὰ βοηθεῖ. καὶ πρῶτον μὲν
Τίσιδος τοῦ Ἀγρυλῆθεν ἀπογράψαντος τὴν Εὐθυ-
κράτους οὐσίαν ὡς δημοσίαν οὖσαν, ἣ πλεόνων ἢ ἑξή-
κοντα ταλάντων ἦν, καὶ μετ' ἐκείνην πάλιν ὑπισχνου-
μένου τὴν Φιλίππου καὶ Ναυσικλέους ἀπογράψειν καὶ
λέγοντος ὡς ἐξ ἀναπογράφων μετάλλων πεπλουτήκασι,
τοσοῦτον οὗτοι ἀπέλιπον τοῦ προσέσθαι τινὰ τοιοῦτον
λόγον | ἢ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥστε τὸν ἐγχειρή-
44 σαντα συκοφαντεῖν αὐτοὺς εὐθὺς ἠτίμωσαν, τὸ πέμπτον
μέρος τῶν ψήφων οὐ μεταδόντες· τοῦτο δ', εἰ βούλει,

Bab. ap. S^b papyro iterum inspecto affirmat. Kayser. C. L. usque ad *Πολύευκτε* ab iis quae recepimus non discrepant, nisi quod C et L δ' non inseruerunt post *κακῶς*; in sequentibus C conjicit: *καίτοι ταῦτά γ' ἴσασι πάντες ὅτι οὔτε δῆμός ἐστιν οὐδείς ἐν τῇ κτλ.* Kayser: — *καίτοι οἱ ταῦτα γινώσκοντες πλεῖστοι — ὅτι οὐδεμία πόλις ἐστὶν οὐδαμοῦ ἐν τῇ κτλ.* L: *(ὥσπερ) καὶ οἱ ταῦτά ἤ(δη σοι γνόν)τες, ὅτι οὔτε (πόλις) ἐστὶν οὐδ(εμία)* —. Extrema eodem modo constituerat JBL, in antecedentibus probans Shilletonis conjecturam: *ταῦτά γ' ἴσασι κάλλιοθ' ὅτι.* Equidem quae nonnisi vagis conjecturis suppleri possunt, omittere satius duxi, in ceteris spatium loci lacunosi diligenter respexi.

